## 29 SEPTEMBRIE
## PAHOMIE ROUSANOU

# SLUJBA SOBORULUI SF.CUVIOŞI-MUCENICI DE LA STROFADES

## MINEIUL PE SEPTEMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΣΕΠΤΕΜΒΡΙΟΣ

# ΟΣΙΟΜΑΡΤΥΡΕΣ ΟΙ ΕΝ ΣΤΡΟΦΑΣΙΝ ΑΝΑΙΡΕΘΕΝΤΕΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Παχωμίου μοναχοῦ Ῥουσανοῦ**

## ΕΝ Τῼ͂ ΜΙΚΡῼ͂ ΕΣΠΕΡΙΝῼ͂

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Ἀναιρεθέντων Πατέρων τὴν μνήμην σήμερον, φαιδρῶς ἐπιτελοῦμεν, τῶν ἐν νήσῳ Στροφάδος, ὀργὴν μὴ πτοηθέντων Ἄγαρ υἱῶν, καὶ ὁδὸν τῆς ἀθλήσεως, ἵνα μὴ δῶσιν τὰ ἅγια τοῖς κυσί, βαδισάντων θείᾳ χάριτι.

Τὴν ἱερὰν τῶν Ὁσίων πληθὺν τιμήσωμεν, τῶν ἐν Στροφάδων νήσῳ, ἀρετῆς τρυγησάντων, τὸ μέλι καὶ πρὸς δόμους τῶν οὐρανῶν, δι’ ἀρίστου ἀθλήσεως, ἀναδραμόντων κραυγάζοντες· εὐκλεῶν, φρυκτωροὶ Μαρτύρων πέλετε.

Ζυγὸν Χριστοῦ θεοφόροι ἐπ’ ὤμων φέροντες, Στροφάδων νήσων κλέη, θαυμαστὰ ὁλοθύμως, ὑπέστητε Πατέρες καρτερικῶς, ἐχθρικὴν ἰταμότητα,

καὶ τοῦ θανάτου γευσάμενοι τὸ πικρόν, πρὸς ζωὴν τὴν ὄντως ἤρθητε.

Κάθαπερ ἄμωμοι ἄρνες καὶ θεῖα σφάγια, τὰς κεφαλὰς ἀνόμων, ὑπεκλίνατε ξίφει, Πατέρες τῶν Στροφάδων νήσων πυρσοί, καὶ Κυρίῳ προσήχθητε, ἵνα στεφάνους ἀξίως ὑμεῖς διπλοῦς, αἰωνίου δόξης λάβητε.

*Δόξα. Ἦχος β΄.*

Μονῆς τῶν Στροφάδων θειότατοι Πατέρες, οἱ Χριστὸν ὁλοσχερῶς ἀγαπήσαντες, καὶ δόκιμοι δειχθέντες τῶν ἐντολῶν Αὐτοῦ ἐργάται, ὡς ἄδολα ἐτύθητε πρόβατα καὶ ἄρνες ἀμώμητοι· ὁμοφρονοῦντες οὖν καὶ στεῤῥοτάτῃ γνώμῃ ἀντετάχθητε ταῖς βαρβαρικαῖς ἐφόδοις, καὶ θανατούμενοι μαρτυρικῶς, ἠξιώθητε στεφάνων παρὰ τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δῆμον θεοστεφῆ, κλεινῶν ἀναιρεθέντων, Πατέρων ἐν Στροφάσιν, ᾠδαῖς ταῖς μελιῤῥύτοις, ἀξίως καταστέψωμεν.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Αἵμασι τοῖς ὑμῶν, ἀρδεύσαντες τὴν μάνδραν, Πατέρες τῶν Στροφάδων, χαρᾶς ἀτελευτήτου, καὶ δόξης ἠξιώθητε.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις ἡ θαυμαστή, χορεία τῶν Πατέρων, τῶν ἐν Στροφάσι πλάνων, ὀφρὺν ἐδαφισάντων, θανάτῳ τὴν ἐπάρατον.

*Δόξα. Τριαδικόν.*

Φέγγει τῆς τριλαμποῦς, Ζωαρχικῆς Τριάδος, λαμπόμενοι ἀΰλως, οἱ Ὅσιοι Πατέρες, Στροφάδων μάνδρας ἤθλησαν.

*Καὶ νῦν. Θεοτοκίον.*

Σοῦ τῆς Παντοχαρᾶς, Εἰκόνα προσκυνοῦντες, Παρθένε ἐν Στροφάσι, Πατέρων ἀνυμνοῦμεν, Ὁσιοάθλων ὅμιλον.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἐν Μονῇ τῶν Στροφάδων θεαρέστως βιώσαντες, καὶ τῆς ἐν Χριστῷ ἀπαθείας ἐποφθέντες κειμήλια, ὑπέστητε βαρβάρων τὴν ὁρμήν, Πατέρες καὶ

Μαρτύρων κοινωνοί, ἀνεδείχθητε ὡς ἄρνες, στυγνῶς σφαγιασθέντες Ὁσιόαθλοι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι᾽ ὑμῶν πιστοῖς τὰ κρείττονα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς σποδὸν λογισάμενοι, τὴν τοῦ κόσμου τερπνότητα, τῆς σαρκὸς τὸ φρόνημα ἐνεκρώσατε, καὶ προσευχῆς ἐργαστήρια, γενόμενοι πάνσοφοι, ἠγλαΐσατε χορούς, μονοτρόπων καὶ τάγματα ἐφαιδρύνατε, τῶν Ἁγίων Ἀγγέλων θεωμένων, τοὺς σεπτοὺς ὑμῶν ἀγῶνας, ἐν τοῖς Στροφάσι μακάριοι.

Ἀγρυπνοῦντες νηστεύοντες, καὶ ἀπαύστως δεόμενοι, τοῦ Χριστοῦ ἀζύγων φανοὶ ἐπώφθητε, τῆς Ἐκκλησίας πυρσεύοντες, σεπτοῖς κατορθώμασι, τοῖς ὑμῶν θεοειδείς, ἀσκηταὶ καὶ κλεΐζοντες, βίῳ σώφρονι, τῆς Στροφάδος τὴν νῆσον ἣν παλαίστραν, πρὸς τελείωσιν ἀγώνων, ὑμῶν τῶν θείων ἐδείξατε.

Τῶν βαρβάρων τὴν ἔφοδον, ὁμοφρόνως ἐδέξασθε, ὥσπερ δῶρον θεῖον Ὁσιομάρτυρες, καὶ οὐρανόθεν ῥωννύμενοι, ἐχθρῶν ἐπατήσατε, ἐπηρμένην τὴν ὀφρύν, Στροφαδῖται πανεύφημοι· ὅθεν σήμερον, τῆς ἀθλήσεως ἄγομεν τὴν μνήμην, τῆς ὑμῶν δοξολογοῦντες, ὑμῖν τὰ γέρα τὸν νέμοντα.

*Ἕτερα. Ἦχος πλ. Δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὢ τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν, θείας Χριστοῦ δωρεᾶς, ἧς ἐτύχετε Ἅγιοι, δι᾽ ἱδρώτων ἔκβλυσιν, διὰ αἵματος ἔκχυσιν· ἐν εὐρυχώρῳ τοὺς πόδας στήσαντες, καὶ καθορῶντες τὰ ὄντως ἄδυτα, ἃ οὐ τεθέαται, ὀφθαλμὸς ὡς ἔφησεν ὁ ἱερός, κῆρυξ καὶ Ἀπόστολος, Παῦλος ὁ πάνσοφος.

Ὢ τῆς ἐμπορίας πάνσοφοι, ἣν ἀσφαλεῖ λογισμῷ, ᾐρετίσασθε ἅπαντα, τὰ ὑμῶν πωλήσαντες, καὶ πριάμενοι ἔδαφος, ἐν ᾧ εὑρόντες τὸν τιμιώτατον, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, μάργαρον Κύριον, ὃς ὑμᾶς ἐστέψατο μαρτυρικῷ, στέφει παναοίδιμοι, πάντοτε χαίρετε.

Ὢ τῆς καρτερίας Ἅγιοι, ἣν ἐν Χριστῷ τῷ Θεῷ, ἐνεδείξασθε ἄριστα, τοῖς ἐχθροῖς προσβάλλοντες, καὶ πυκτεύοντες κράτιστα, καὶ τούτοις ἄγαν κατατροπούμενοι· βραβεῖα ὅθεν τῆς νίκης ἤρατε, ὄλβον οὐράνιον, καὶ χαρὰν τὴν ἄληκτον· διὸ Χριστῷ, πάντοτε πρεσβεύετε, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Δόξα. Ἦχος β΄.*

Ὡς ἐξ Αἰγύπτου τῆς πολυσχιδοῦς ἀχλύος ἐξήλθετε τῶν κοσμικῶν μελετημάτων, καὶ ἐν ἐρήμῳ αὐλισθέντες τὸ πρότερον, τὸν νοῦν καθηράμενοι ὡς ἐν ἐσόπτρῳ τὰ θεῖα κατίδετε, νῦν δε, καὶ τέλους τυχόντες θεοειδοῦς εἰς τὸν ὑπέρφωτον γνόφον ἐμβάντες, πρόσωπον πρὸς πρόσωπον ὁρᾶτε μακάριοι· διὸ ἀμέσως ἐκ Θεοῦ τὰς ἐλλάμψεις εἰσδεχόμενοι, αἰτήσατε ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Ἐκκλησιαστοῦ τὸ Ἀνάγνωσμα (Κεφ. ΙΒ΄, 1-8 )*

Μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου, ἕως ὅτου μὴ ἔλθωσιν ἡμέραι τῆς κακίας καὶ φθάσωσιν ἔτη, ἐν οἷς ἐρεῖς· οὐκ ἔστι μοι ἐν αὐτοῖς θέλημα· ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες, καὶ ἐπιστρέψωσι τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ· ἐν ἡμέρᾳ, ᾗ ἐὰν σαλευθῶσι φύλακες τῆς οἰκίας καὶ διαστραφῶσιν ἄνδρες τῆς δυνάμεως, καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν, καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς· καὶ κλείσουσι θύρας ἐν ἀγορᾷ, ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης, καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ στρουθίου, καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος· καὶ ἀπὸ ὕψους ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁδῷ· καὶ ἀνθήσῃ τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς, καὶ διασκεδασθῇ ἡ κάππαρις, ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ, καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι· ἕως ὅτου μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου, καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου, καὶ συντριβῇ ὑδρία ἐπὶ τῇ πηγῇ, καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον, καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν, ὡς ἦν, καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν Θεόν, ὃς ἔδωκεν αὐτό. ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής, τὰ πάντα ματαιότης.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 4, 7-15)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας

προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Εὐφραίνου ἐν Κυρίῳ ἡ Στροφᾶς νῆσος τοῦ Ἰονίου, χορείαν κλεινῶν Ὁσιομαρτύρων ἀναδείξασα. Οὗτοι γάρ, ἀσκητικῇ ἀγωγῇ διαλάμψαντες, προθύμως ἐξέχεαν τὰ ῥεῖθρα τοῦ ἰδίου αἵματος· σφαγιασθέντες οὖν ὡς ἄρνες βαρβαρικαῖς, παλάμαις Χριστῷ ἑαυτοὺς ὡς λογικὴν προσήνεγκαν θυσίαν. Καὶ νῦν, Ὁσίοις καὶ Μάρτυσι συναγαλλόμενοι, πρεσβεύουσιν Αὐτῷ ἡμῖν καταπέμψαι θεῖον ἔλεος.

*Ἦχος β'.*

Τὴν τῶν Πατέρων ἁγιόλεκτον χορείαν, τοὺς ὑψικόμους φοίνικας τῆς ἐγκρατείας καὶ νήψεως, ἀξιοχρέως οἱ φιλομάρτυρες μακαρίσωμεν· ὁλοθύμως γὰρ καὶ εὐτόλμως, τὸ τοῦ μαρτυρίου ἤνυσαν στάδιον, κατατροπώσαντες τοὺς ἑσμοὺς τῶν βαρβάρων, καὶ τυραννικὴν μὴ πτήξαντες μανίαν· ἁγιάσαντες οὖν τὴν τῶν Στροφάδων χθόνα, καὶ λογισθέντες ὡς πρόβατα

σφαγῆς, ἔδραμον Χριστῷ ὑπαντῆσαι, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἦχος γ΄.*

Ἐκ διαφόρων χωρῶν ὁρμώμενοι, τῇ τῶν Στροφάδων μάνδρᾳ προσήλθετε, ἔνθα θεοφιλῶς πολιτευσάμενοι, πάσης προσύλου σχέσεως ἑαυτοὺς ἐκαθάρατε Πατέρες· ὑμεῖς γὰρ τὴν ὡς λύκων ἐφορμησάντων ἔφοδον τῶν ἀνημέρων βαρβάρων, ὁμοφρόνως ἀντικρούσαντες, ἀνηλεῶς ἐσφαγιάσθητε, Ὁσιομάρτυρες παναοίδιμοι· κοινωνοὶ ὅθεν ἀλκίμων Μαρτύρων γεγονότες, τῶν αἰωνίων ἀγαθῶν ἠξιώθητε, καὶ χάριν δαψιλῆ εἰλήφατε, πρεσβεύειν ὑπὲρ τῶν τιμώντων ὑμᾶς ἐν ᾄσμασι.

*Ἦχος δ΄.*

Τῇ λέμβῳ ἐμβάντες τῇ σωτηρίῳ τῆς πίστεως, εἰς τὴν Στροφάδα νῆσον ἀσφαλῶς προσωρμίσθητε, ἀρετῆς ναύτιλοι, γεραροὶ Ὁσιομάρτυρες· ἐάσαντες γὰρ τοὺς οἴακας τῆς ἁγνῆς ψυχῆς ὑμῶν τῷ Κυρίῳ, τοῦ ἀοράτου ἐχθροῦ συνετρίψατε τὸ κέρας θεούμενοι κατὰ μέθεξιν. Καὶ τῶν ὁρατῶν ἐχθρῶν τὰς ἐπιθέσεις μὴ πτοηθέντες, μαρτυρικῶν ἠξιώθητε στεφάνων, καὶ χάριτος πρεσβεύειν ἀπαύστως ὑπὲρ ἡμῶν.

*Δόξα. Ὁ αὐτός.*

Τὸ εὐτελὲς ἀσκητικὸν ὑμῶν τριβώνιον, οἰκείοις αἵμασιν ἐπορφυρώσατε, νομίμως ἐν Στροφάσιν

ἀθλήσαντες Πατέρες· ἑαυτοὺς γὰρ στολισάμενοι, ἀσκήσει καὶ ἀθλήσει εἰς τὸν νυμφῶνα τῆς ζωῆς λαμπροχίτωνες εἰσήλθετε σεμνοὶ Ὁσιοάθλοι. Αὐτοῦ καὶ ἡμᾶς ἀπολαῦσαι, ἀξιώσατε τοὺς καθ' ἑκάστην ὑμνοῦντες ὑμῶν μνήμην τὴν πάμφωτον, ἀναιρεθέντες πανάριστοι.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. Α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἡ τῶν Πατέρων πληθύς, ἡ ἐν Στροφάσι καθελοῦσα τὸ φρύαγμα, βαρβάρων ὁρδῶν ἀπίστων, καὶ μαρτυρίου στεῤῥῶς, τὴν στενὴν τὴν τρίβον διοδεύσασα· ὁμήγυρις πάνσεπτε, ὁρμαθὲ θεοσύλλεκτε, χορὲ γενναῖε, θεοπρόβλητε σύλλογε, τάγμα εὔψυχον, Ἀθλητῶν τοῦ παντάνακτος, δῆμε ἀνδρεῖε, πρέσβευε Χριστῷ τῷ παρέχοντι νικητηρίους στεφάνους, ἡμῖν διδόναι ἀείποτε, ὑγιείαν ἄμφω, καὶ ἰσχὺν καταπαλαῖσαι, τὸν πολυμήχανον.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Χαίροις, ὁ τῶν ἀζύγων χορός, τῆς ἰσαγγέλου βιοτῆς δῆμε πάνσεπτε, χορεῖα διπλῆς ἀγάπης, ἀκτημοσύνης λαμπρόν, σύνταγμα καὶ σμῆνος ταπεινώσεως. Πατέρες θειότατοι, τῶν Στροφάδων σεμνώματα, οἱ τὰ

ἠδέα, καὶ τερπνὰ ἀποῤῥίψαντες, καὶ τὰ ἄῤῥευστα, τὰ ἐν πόλῳ ποθήσαντες, Κύριον τὸν φιλάνθρωπον, σαφῶς ἱκετεύσατε, ὑπὲρ ἡμῶν τῶν ἐν ὕμνοις, ἀνευφημούντων καὶ ᾄσμασι, τὴν πάνσεπτον μνήμην, τὴν ὑμῶν πνευματοφόροι Ὁσιομάρτυρες.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, τῶν Ἀθλητῶν ἡ συστάς, ἡ τῶν βαρβάρων καθελοῦσα τὴν ἔπαρσιν, καὶ μάνδραν τὴν ἐν Στροφάσι, κονίστραν ἀθλητικῶν, καὶ σεπτῶν ἀγώνων ἀναδείξασα. Πατέρων κλεΐσματα, ἀσκητῶν ἀκροθίνια, καὶ Ἀθλοφόρων, εὐκλεῶν ἐξανθήματα, οἱ τοῦ Κτίσαντος, τὸ ὑπέρφωτον πρόσωπον, νῦν ἐν Ἐδὲμ θεώμενοι, Χριστὸν ἱκετεύσατε, ἐξ οὐρανοῦ καταπέμψαι, ἡμῖν εἰρήνης ὀμβρήματα, καὶ παῦσαι πολέμους, τοὺς σκορπίζοντας ἐν πάσῃ, τῇ κτίσει ὄλεθρον.

*Δόξα. Ἦχος γ΄.*

Εὐφράνθητι ἔρημος κατὰ τὸν Προφήτην καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα, ἐν σοὶ ὁ Κύριος ἐγκατῴκησεν, ἃ κατὰ καιρὸν αὐτῷ προσάγουσα ἐν ἀσκητικῇ καὶ ἀθλητικῇ τελειώσει, ὥσπερ τελειότατα θρέμματα, πρεσβεύουσιν ὡς Δεσπότῃ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀσπόρως ἐκ θείου Πνεύματος, βουλήσει δὲ Πατρός, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ Πατρὸς ἀμήτορα, πρὸ τῶν αἰώνων ὑπάρχοντα, δι' ἡμᾶς δὲ ἐκ σοῦ ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας. Διὸ μὴ παύσῃ πρεσβεύειν, τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμων.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Ἐν Μονῇ τῶν Στροφάδων θεαρέστως βιώσαντες, καὶ τῆς ἐν Χριστῷ ἀπαθείας ἐποφθέντες κειμήλια, ὑπέστητε βαρβάρων τὴν ὁρμήν, Πατέρες καὶ Μαρτύρων κοινωνοί, ἀνεδείχθητε ὡς ἄρνες, στυγνῶς σφαγιασθέντες Ὁσιόαθλοι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι' ὑμῶν πιστοῖς τὰ κρείττονα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

# ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Τεμνόμενοι χερσί, τῶν ἀπίστων βαρβάρων, ὡς θύματα δεκτά, καὶ σεπτὰ ἱερεῖα, Κυρίῳ προσήχθητε, εὐσθενεῖς Ὁσιοάθλοι, δῆμε πάντιμε, ἀναιρεθέντων Πατέρων· ὅθεν σήμερον, ὡς ἀπλανῆ τῶν Στροφάδων, ὑμᾶς ἄστρα μέλπομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαρᾶς εἰλικρινοῦς, ἣν παρέχει ἀφθόνως, ὁ θεῖός Σου Υἱός, καὶ Θεὸς τῶν ἁπάντων, πανάμωμε ἔμπλησον, καὶ τὰ νέφη τῶν θλίψεων, ἀποδίωξον, Παντοχαρὰ ἐκ τῶν πίστει, τὰ θαυμάσια, μεγαλυνόντων ἀπαύστως, τὰ Σὰ ὕμνοις πρέπουσι.

*Μετὰ τὴν β’ Στιχολογίαν, Κάθισμα. Ἦχος δ’. Ταχὺ προκατάλαβε.*

Ὁσίως ἠνύσατε ἐν τῇ Στροφάδων Μονῇ, τὸν βίον μακάριοι Πατέρες καὶ τοὺς κρουνούς, προθύμως ἐχέατε, θείων ὑμῶν αἱμάτων, ὑποκλίναντες κάραν, ξίφει ἐχθρῶν τῶν πλάνων· ὅθεν πόθῳ τιμῶμεν, ὑμᾶς ὡς τοῦ Σωτῆρος Χριστοῦ, ἄδολα σφάγια.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν δείλαιον δοῦλόν Σου Παντοχαρὰ θαυμαστή, ταχέως ἀπάλλαξον τῆς συνηθείας βοῶ, ἐκθύμως τῆς φαύλης μου, καὶ ὀχετοὺς δακρύων, μετανοίας παράσχου, τῷ Σῷ οἰκτρῷ οἰκέτῃ, ἵνα βόρβορον πλύνων, παθῶν τῶν ἀπείρων ἁγνή, κόσμου διάσωσμα.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐχθρῶν φρυάγματα, κατεπατήσατε, στεῤῥῷ φρονήματι, Πατέρες Ὅσιοι, οἱ διαλάμποντες φωτὶ βιώσεως ἐναρέτου· ὅθεν ἀνεδείχθητε, τῶν Ἀγγέλων συνόμιλοι, μετασχόντες πάνσοφοι, τῆς ἀλήκτου φαιδρότητος· διὸ ὑμᾶς τιμῶμεν ἐκθύμως, ῥόδα Στροφάδων μυροβόλα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ὑπερούσιος, Θεὸς καὶ Κύριος, ἐκ σοῦ σεσάρκωται, δι' ἀγαθότητα, τὸ καθ' ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν· ὅθεν καὶ θεάνθρωπον, τοῦτον σέβοντες Πάναγνε, σὲ τὴν Ἀπειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα, τῆς σῆς ἀσπόρου κυήσεως.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, Ματθ. Ζ΄, 12-21.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τῶν Ἀθλοφόρων…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Ἰδιόμελον. Ἦχος πλ. Β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Ἀθλητικὴν ἐπεδείξατε ἀνδρείαν, ἐν τῇ ἐπιδρομῇ τῶν ὀρδῶν τῶν ἀνημέρων βαρβάρων, ἀσκουμένων ἐν Στροφάσι Πατέρων ἀρχέτυπα· ὅθεν τοῖς ἰδίοις αἵμασι περιῤῥεόμενοι, ὡς θυσίαι λογικαὶ καὶ ἄμωμα ἱερεῖα, Κυρίῳ τῷ νέμοντι τὰ γέρα προσήχθητε. Καὶ νῦν ἐν τοῖς οὐρανίοις δόμοις εὐφραινόμενοι, καὶ τοῦ Παμβασιλέως τὴν δόξαν θεώμενοι, μὴ παύσητε πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Κανὼν τῶν Ὁσιομαρτύρων, οὗ ἡ ἀκροστιχίς: *Ἀθλοφόροις θ’ Ὁσίοις νείατον ᾆσμα φέρω.*

Ἀσματογράφοις συνελθόντες ἅπαντες, ᾠδὴν κροτήσωμεν, τοῖς τῷ Χριστοῦ πόθῳ τὰ τοῦ βίου, πτύσασιν ἐπίκηρα καὶ ζήσασιν ἐν ἀσκήσει καὶ πόνῳ, καὶ δι’ ἀθλήσεως φθάσασιν εἰς τὴν τῶν πραέων ἀνάπαυλαν.

Θύματα ὥσπερ ἀρετὰς προσήξατε, καὶ ἱερὰς προσευχάς, καὶ ἑαυτοὺς εἶτα τῷ τυθέντι ἄνακτι, ὑπὲρ ἡμῶν πανόλβιοι, καὶ ἐν τούτῳ ζηλοῦντες Ἄβελ τὸν πάλαι ἀοίδιμον, καὶ τὸν Ζαχαρίαν τὸν δίκαιον.

Λεηλατοῦντες ὥσπερ θῆρες ἄγριοι, οἱ ἐκ τῆς Ἄγαρ, πιστοὺς καὶ πρὸς ἡμᾶς ἧκον τοὺς Θεοῦ θεράποντας, καὶ ἔνδον εἰσπηδήσαντες τοῦ φρουρίου, ἐν τάχει ἔργον μαχαίρας ἐποίησαν, καὶ πυρὶ παρέδωκαν Ὅσιοι.

*Θεοτοκίον.*

Ὁμοφυὴν ὢν τῷ Πατρὶ καὶ ἄχρονος ὁ Λόγος πάναγνε, ὑπερφυῶς σάρκα ἐκ Σοῦ προσελάβετο, καὶ ὑπὸ χρόνον γέγονεν, ἵνα ὅλον με σώσῃ κατολισθήσαντα πάθεσι, καὶ τὴν ἀφθαρσίαν δωρήσηται.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Φυλακὴν ὡς ὀπώρας τὸ ἱερὸν τέμενος, καὶ τὰς τῶν Ὁσίων Σου σάρκας βρώματα ἔθεντο, τοῖς πετεινοῖς οὐρανοῦ, Σαρακηνῶν ὠμοὶ παῖδες, κατὰ Σοῦ φρυάξαντες, μόνε μακρόθυμε.

Οἱ μισοῦντές Σε ἦραν τὴν κεφαλὴν Κύριε, καὶ ἐπανουργεύσαντο γνώμην, ὄντως παράνομον, κατὰ Ὁσίων τῶν Σῶν, ἀλλ’ ὡς τροχὸν ὡς καλάμην, θοὺς αὐτοὺς φιλάνθρωπε, τῇ καταιγίδι Σου.

Ῥαβδισμοὺς ἐνεγκόντες καὶ λακτισμοὺς Ὅσιοι, ὑπὸ τῶν ἀπίστων γενναίως πάντας ἐφέρετε, καὶ κεφαλῆς ἐκτομήν, μετὰ πολλὰς τὰς βασάνους, τῷ Χριστῷ παρίστασθε, νῦν εὐφραινόμενοι.

*Θεοτοκίον.*

Ὅλος κόσμος ἐσώθη κατακλυσμοῦ Δέσποινα, τῆς εἰδωλικῆς ἀσεβείας καὶ εἰς ἐπίγνωσιν, τῆς ἀληθείας ἐλθών, πανευλαβῶς Σε δοξάζει, τὴν ἀειμακάριστον καὶ παναμώμητον.

*Κάθισμα. Ἦχος πλ. Δ΄. Τὸ προσταχθέν.*

Προγυμνασθέντες ἱκανῶς ἐν ἐρήμῳ, τὰς προσβολὰς τῶν δυσμενῶν καταμαθόντες, οἱ καλλίνικοι ἔτρεψαν αὐτοὺς εἰς τέλος, ῥωννύμενοι τῇ δυνάμει τοῦ Ἰησοῦ, παρ’ Οὗ καὶ ταινιωθέντες ἐν τῷ χορῷ τῶν Ἁγίων ἐτάχθησαν· διόπερ πάντες αὐτοῖς τὸν ἔπαινον, προσοίσωμεν ἀθλοθέτην δοξάζοντες.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον, ὅμοιον*

Τὸν ἀναλλοίωτον Θεὸν ἡ τετοκυῖα, ἀλλοιουμένην εἰς ἀεὶ τῇ ἁμαρτίᾳ, ταῖς προσβολαῖς τοῦ δολίου καὶ τῇ ῥαθυμίᾳ, στερέωσον τὴν καρδίαν μου Ἀγαθή, πρεσβείαις ταῖς μητρικαῖς σου ὅπως κᾀγώ, εὐχαρίστως κραυγάζω σοι· Θεογεννῆτορ Μαριάμ, ἐλέησον τὴν ποίμνην σου, ἣν ἐκτήσω Πανάμωμε.

*Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.*

Ἱερεῖα ὡς ἄμωμα, τῷ καθαρωτάτῳ μόνῳ προσήχθητε, καὶ εἰς τόπον χλόης νέμεσθε, καὶ τρυφὴν χειμάῤῥου, παναοίδιμοι.

Συνδραμόντες οἱ βάρβαροι, τὴν κληρονομίαν Χριστοῦ ἐσπάραξαν, ὥσπερ λέων ὠρυόμενοι, καὶ ὡς κύνες οἴμοι, ἀναιδέστατοι.

Θανατῶντες οἱ Ἅγιοι, τὸν ὑπὲρ Χριστοῦ μακάριον θάνατον, ἐν χερσὶν Αὐτοῦ παρέθεντο, τὴν ψυχὴν ἀδίκως θανατούμενοι.

*Θεοτοκίον.*

Οὐρανοῦ πύλη ἄχραντε, καὶ οὐρανομήκης κλῖμαξ ὑπάρχουσα, διὰ Σοῦ κατέβη Κύριος, τὴν βροτείαν φύσιν ἀνυψούμενος.

*Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.*

Στυγητὸς ἐλογίσθη, ὑπὸ τῶν ἀφρόνων ὁ τῶν Ὁσίων θάνατος, μὴ εἰδότων ὅτι, τὰ Θεοῦ εἰσι κρίματα ἄφραστα, καὶ γὰρ κολασθέντες, ἐπὶ βραχὺ καὶ παιδευθέντες, ἀμοιβὰς αἰωνίους κομίσονται.

Ἰησοῦ μὴ εἰς τέλος, ὀργισθείη θυμός Σου ἐπὶ τὴν ποίμνην Σου, ἀλλ' ἐπίβλεψον δὴ καὶ κατάρτισον αὖθις Σὴν ἄμπελον, ἐξερημωθεῖσαν ὑπὸ συῶν ἀγριωτάτων, ἵνα πίστει καὶ πόθῳ δοξάζει Σε.

Ὁλοψύχως ποθοῦντες, τὸ παρὰ τοῦ ἄνακτος ποθὲν ποτήριον, ἰδοὺ συγχωρήσει, τοῦ τὰ πάντα εἰδότος μακάριοι, τοῦ βαρβάρων πλήθους ἐπιδραμόντος ἐξαπίνης, τὸ ποθούμενον τέλος ἐδέξασθε.

*Θεοτοκίον.*

Ἵνα ῥύσῃ τὸν κόσμον, ἐκ τῆς τοῦ τυράννου δουλείας ὁ Κύριος, ἐπὶ Σὲ κατῆλθεν, ὡς ἐν πόκῳ ἀψόφως τὴν ἄχραντον, σαρκωθεὶς ἀσπόρως, ἄνευ τροπῆς ἐκ Σῶν αἱμάτων, τὸν Βελίαρ κρατήσας ἐδέσμευσεν.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Σταγόνες μυρεψικαί, τὰ αἵματα τῶν Ὁσίων Σου, ἠνέχθησαν καὶ ὀσμὴ ἡδεῖά Σοι Κύριε, διὰ Σὲ γὰρ Δέσποτα, τὰς κάρας ὑπέσχον, τοῖς βαρβάροις εἰς ἀναίρεσιν.

Νευρούμενοι τοῦ Χριστοῦ, τῷ σθένει οἱ γενναιότατοι, ἐξῆλθον τῆς κοσμικῆς, ὀχλήσεως σπεύδοντες, εἰς ἀντιπαράταξιν, τοῦ Βελίαρ ὅνπερ, κατὰ κράτος ἐτρωπόσαντο.

Ἐξέχεαν ἀπηνῶς, τὰ αἵματα τῶν Ὁσίων Σου, ὡς ὕδωρ ἐπὶ τῆς γῆς, οἱ ἄθεοι βάρβαροι, ἀλλὰ προσηνέχθησαν, ὥσπερ μόσχοι Λόγε, ἐπὶ Σὸν θυσιαστήριον.

*Θεοτοκίον.*

Ἰδοὺ εἰ ὅλη καλή, καὶ μῶμος ἐν Σοὶ οὐκ ἔνεστιν, ἰδοὺ εἶ ὅλη καλή, πλησίον ὑπάρχουσα, τοῦ Υἱοῦ Σου ἄχραντε, ὑπὲρ τῶν Σῶν δούλων, ἐς ἀεὶ τοῦτον ἱκέτευε.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Σὺν Ὁσίοις ἅπασι, καὶ Ἀθλοφόροις, συγχορεύειν πάντοτε, ἀξιωθέντες νοερῶς, παρὰ Κυρίου πανάριστοι, καὶ ὑπὲρ πάντων ἡμῶν ἀεὶ μέμνησθε.

*Ὁ Οἶκος.*

Τοῖς ἀρνηθεῖσι τὰ τερπνὰ καὶ ἀπατηλὰ κόσμου, τοῖς Αὐτῷ σταυρωθεῖσι καὶ ἀκολουθήσασι Χριστόν, τὸν στέψαντα ὑμᾶς στεφάνοις ἀγώνων, δηλαδὴ ἀσκήσεως καὶ ἀθλήσεως εὐσεβοῦς. Αἶνον προθυμουμένῳ προσαγαγεῖν, καὶ διηγήσασθαι τοὺς ὑμῶν ἄθλους καὶ τὰ σκάμματα, φάνητέ μοι ἀντιλήπτορες καὶ προστάται ἀκάματοι. Παῤῥησίαν γὰρ ἐσχήκατε πολλὴν πρὸς τὸν Δεσπότην, ὡς θεραπευταὶ καὶ γνήσιοι τούτου φίλοι, καὶ ὑπὲρ πάντων ἡμῶν ἀεὶ μέμνησθε.

*Συναξάριον.*

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν Στροφάσι ἀναιρεθέντων, ὑπὸ τῶν πειρατῶν καὶ ἀθέων βαρβάρων.

*Τμηθέντας ἄνδρας τῷ ξίφει μονοτρόπους,*

*ἰδοῦσα ῥομφαία λίπε στρωφουμένη.*

*Εἰκάδι πειραταὶ ἡ δ’ ἐνάτη ἄζυγας κτεῖνας.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Ἄξιοι φίλοι τοῦ Σωτῆρος, ἀνεδείχθητε σεβάσμιοι Πατέρες, δι’ Αὐτὸν ἀστρεπτί, μισήσαντες τὰ κάτω, καὶ τοὺς αὐχένας κλίναντες εἰς σφαγήν, σὺν προθυμία.

Τύρβην καὶ πᾶσαν τὴν μερίμνην, ἀρνησάμενοι τὴν πρόσκαιρον γενναῖοι, τὸν σταυρὸν δὲ ὑμῶν ἀράμενοι ἐπ’ ὤμων, ἠκολουθήσατε Χριστῷ, καὶ ζῆτε εἰς αἰῶνας.

Ὅπλα καὶ φάσγανα καὶ βέλη, οὐκ ἐπτόησαν χωρίσαι τῆς ἀγάπης, τοὺς Ὁσίους Χριστοῦ, ἀλλ’ ἔψαλλον εὐτόνως· Εὐλογητὸς εἰ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νύξ με συνέχει τῶν πταισμάτων, ἀλλ’ ἡ τέξασα τὸ φῶς τὸ πρὸ αἰώνων, ἀποδίωξον αὐτὴν ἐξ ὀφθαλμῶν, ἵνα ὑμνῶ Σε Δέσποινα Θεοτόκε, εἰς αἰῶνας.

*Ὠδὴ η΄. Μουσικῶν ὀργάνων.*

Ἀμπελῶνι θείῳ προσκληθέντες, καὶ μισθὸν λαβόντες βασιλείαν αἰώνιον παρὰ Χριστοῦ,

εὐφραίνεσθε Ἀγγέλοις Αὐτὸν συνανυμνοῦντες, καὶ δοξολογοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Σωφροσύνῃ πάσῃ καὶ ἀσκήσει κοσμηθέντες Ἅγιοι, ὡς ἔδει μετέπειτα καὶ τὴν σφαγὴν ἠνέγκατε προθύμως· Χριστὸν ὑπερυψοῦντες καὶ δοξολογοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Μέγα θάμβος ὄντως καθωράθη, τῇ ἡμέρᾳ ᾗπερ οἱ κακοῦργοι προσέβαλον, μυρμηκηδὸν Μονῇ τῇ τῶν δικαίων· καὶ γὰρ σφαγαὶ καὶ κρότοι καὶ λεηλασίαι καὶ λαφυραγωγίαι.

*Θεοτοκίον.*

Ἀκανθῶν ἐν μέσῳ ὥσπερ κρίνον Σὺ ὑπάρχεις, ἄχραντε Παρθένε, ἀναμέσον τῶν γυναικῶν καλὴ ὡς ἡ σελήνη, ἐκλεκτὴ δὲ ὡς Φαθέων, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.

*ᾨδὴ θ’. Ἔφριξε πᾶσα ἀκοή.*

Φέροντες στίγματα Χριστοῦ ἐν τῷ σώματι ὑμῶν ἀξιάγαστοι, κόλπους ᾠκήσατε Ἀβραὰμ τοῦ δικαίου Προπάτορος, εἰ γὰρ καὶ σώματι θνητοί, ἀλλ’ οὔκουν τῷ πνεύματι· διὸ οἱ σύμπαντες τὴν ἁγίαν ὑμῶν μνήμην θειάζομεν.

Ἕνεκα τῆς Σῆς Βασιλεῦ θανατούμεθα ἀγάπης ὡς πρόβατα, ἀλλὰ ἀξίωσον τῆς ἀφράστου χαρᾶς καὶ λαμπρότητος τῶν Σῶν Ἁγίων, οἱ σεπτοὶ ἐβόων σὺν

δάκρυσιν ἐν φονεύεσθαι ἀνευθύνως καὶ ὠμῶς, οὓς γεραίρομεν.

Ῥῶσιν ψυχῆς τε καὶ σαρκὸς εὐεξίαν καὶ εἰρήνην, παρ' ἄνακτος ἡμῖν αἰτήσασθε, λοιμοῦ λιμοῦ καὶ πάσης αἱρέσεως, ἐπιδρομῆς βαρβαρικῆς ῥυσθῆναι θεσπέσιοι, τοὺς πίστει πάντοτε τὴν ἁγίαν ὑμῶν μνήμην κλεΐζοντας.

Ὢ τῆς ἀφράστου ἀνοχῆς καὶ ἀῤῥήτου ἀγαθότητος Δέσποτα, ὅπως ἐν σώματι πρὸς δούλους ᾗκες ὁ ὑπερούσιος, καὶ τούτοις ὅμοιος ὀφθεὶς ἐλέους ἠξίωσας, ἀρᾶς ῥυόμενος τοῦ Προπάτορος Ἀδὰμ ὡς φιλάνθρωπος.

*Θεοτοκίον.*

Φώτισον πύλη τοῦ φωτός, τῆς καρδίας μου τὰ ὄμματα δέομαι, ἅπερ ἠμαύρωσε, τῆς ἁμαρτίας σκότος βαθύτατον, καὶ μετανοίας μοι αὐγήν, κατάπεμψον Δέσποινα, καὶ αἰωνίου πυρός, μεσιτείαις σου ἀεὶ ἐλευθέρωσον.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Ὄντως Πατέρες θείῳ, ὡσεὶ ἐλαία ἐν οἴκῳ, εὐφορώτατη καὶ φοῖνιξ, θαλερὸς καὶ ὡσεὶ κέδρος, ἐδείχθητε ἀρδευθέντες, τῇ τῶν αἱμάτων ἐκχύσει.

*Θεοτοκίον.*

Δεδοξασμένα ἐῤῥήθη, περὶ Σοῦ πόλις τοῦ Θεοῦ, ἐν Σοὶ γὰρ πᾶσαι τῶν θείων, καὶ θεηγόρων Προφητῶν, ἔλαβον τέλος αἱ ῥήσεις, πανάχραντε Θεοτόκε.

*Αἶνοι. Ἦχος α’. Πανεύφημοι Μάρτυρες.*

Πατέρων ὁμήγυριν σεπτήν, σθένει θείου Πνεύματος, τὴν καθελοῦσαν τὸ φρύαγμα, ἐχθροῦ τιμήσωμεν, ἐκβοῶντες· Μάνδρας τῶν Στροφάδων μάργαρα, ἀνδρείας καὶ συνέσεως πρότυπα, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι μέγα ἔλεος, τοῖς ὑμνοῦσιν ὑμῶν τὰ παλαίσματα.

Στροφάδων τοὺς θείους ἀσκητάς, τοὺς πιστῶς ἀνύσαντας, τῆς ὁσιότητος πέλαγος, καὶ ὑπομείνοντας, τῶν στυγνῶν βναρβάρων ἀπηνῆ ἐπίθεσιν τιμήσωμεν βοῶντες· πανύμνητοι Πατέρες πάνσοφοι, δυσωπεῖτε τὸν Παντάνακτα, δοῦναι πᾶσιν εἰρήνην καὶ δύναμιν.

Χριστὸν ἀνυμνοῦντες καρτερῶς, αἰκισμοὺς λακτίσματα, στρεβλώσεις ἅμα μαστίγιον δεινόν, καὶ θάνατον ἐν τῇ τῆς Στροφάδος νήσῳ ὑπεμείνατε ὑπ’ ἐχθρῶν ἀνόμων, τρισμέγιστοι Ὁσιομάρτυρες, καὶ πρὸς δώματα ἐδράμετε θείας δόξης, Χριστῷ συναγάλλεσθαι.

Βιαίῳ θανάτῳ ἀσκηταί, θεαυγεῖς θεόφρονι ψυχῇ καὶ γνώμῃ μακάριοι, στεῤῥᾷ προσήχθητε ὥσπερ ἱερεῖα καθαρὰ καὶ ἄμωμα, Κυρίῳ Ἀθλητῶν ὁμηγύρεσι

συναριθμήσασθαι, μονοτρόπων ὡραΐσματα, καὶ Στροφάδων Μονῆς ἀναστήματα.

*Δόξα. Ἦχος πλ. Β΄.*

Ὅσιοι Πατέρες, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες καὶ τὴν πίστιν τηρήσαντες· τῆς νοητῆς Σιὼν οἱ οἰκήτορες χαίρετε, καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὅτι ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη, καὶ ὡς δορκὰς ἐκ βρόχων, καὶ νῦν νοερῶς Αὐτῷ παριστάμενοι, αἰτεῖτε δοθῆναι ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Πατέρων σεπτὸς χορός, τῶν ἀναιρεθέντων, ἐν Στροφάσιν ἀνηλεῶς· χαίροις συστοιχία, λαμπρὲ Ὁσιοάθλων, ὀφρῦν ἡ τῶν βαρβάρων καταπατήσασα.